Geographi Graeci Minores
Carolus Mullerus
Εκδ. Παρισίων 1855
Τ. Α. σελ. 222

'Εκ τοῦ 'Ανωνύμου (Σκύμνου Χίου, ὡς φέρεται)

Περί Θράκης.

...Ἑξῆς Νέα πόλις ἐστί καί νῆσος Θάσος,
ἥν βάρβαροι τό πρότερον ᾤκουν, ὡς λόγος,
ἔπειτα Φοίνικες μετά Κάδμου καί Θάσου
ἐκ τῆς Ἀσίας διαβάντες· ἔλαβε δ'ἡ Θάσος
ἀπό τοῦ Θάσου καί τοὔνομ', ὡς καί νῦν ἔχει.
Τήν ὑπεράνω χώραν δέ μέχρι τοῦ Ποντικοῦ
Ἴστρου παρεκτείνουσι Θρᾶκες νεμόμενοι -
Τῶν δ'ἐπί θαλάττῃ κειμένων ἐστίν πόλις
Ἄβδηρα ἀπ' 'Αβδήρου μέν ὠνομασμένη
τοῦ καί κτίσαντος πρότερον αὐτήν, ὅς δοκεῖ
ὑπό τῶν Διομήδους ὕστερον ξενοκτόνων
ἵππων φθαρῆναι· Τήϊοι δέ τήν πόλιν
συνῴκισαν φυγόντες ὑπό τά Περσικά.

Ταύτης δ'ἐπιταδε ποταμός ἐστι κείμενος
Νέστος λεγόμενος, ἐκ δέ τῶν πρός ἀνατολήν
μερῶν λαβοῦσα τοὔνομ' ἀπό τῶν Βιστόνων
Θρακῶν προμήκης ἐστί λίμνη Βιστονίς.
Εἶτεν Μαρώνει', οὗ κατοικῆσαι τό πρίν
τούς Κίκονας ἱστοροῦσι τούς ἐν Ἰσμάρῳ·
αὕτη δέ Χίων ἐγένεθ' ὕστερον κτίσις.
Πέραν Σαμοθράκη δ'ἐστι νῆσος Τρωϊκή,
ἔχουσα τήν οἴκησιν ἀναμεμιγμένην·
Πρότερον γάρ εἶναί φασιν ἐν ταύτῃ τινές
Τούς Τρῶας, Ἠλέκτρας τεκούσης Δάρδανον

Ἐκ τοῦ 'Ανωνύμου (Σκύμνου Χίου,ὡς φερεται)

Περί Θράκης

τῆς λεγομένης "Ατλαντος Ἰασίωνά τε,
ὧν τόν μέν Ἰασίωνα δυσσέβημά τι
πρᾶξαι περί Δήμητρος λέγουσ'ἄγαλμα καί
πληγῇ κεραυνωθέντα δαιμονίῳ θανεῖν,
τόν Δάρδανον δέ λιπόντα τούς τόπους
πρός τήν ὑπώρειαν τῆς Ἴδης κτίσαι
πόλιν ἀφ'ἑαυτοῦ Δαρδανίαν καλουμένην.
Τούς δέ Σαμοθρᾶκας,Τρῶας ὄντας τῷ γένει,
ἀπό τοῦ τόπου δέ Θρᾶκας ἐπικαλουμένους,
δι'εὐσέβειαν ἐγκαταμεῖναι τῷ τόπῳ.
'Εν σιτοδείᾳ τῶν Σαμίων δι'αὐτοῖς ποτε
ἐπαρκεσάντων,τηνικαῦτ'ἐκ τῆς Σάμου
ἐπιδεξάμενοί τινας συνοίκους ἔσχοσαν.
Μετά τήν Μαρώνειαν κεῖτ'Αἶνος πόλις
ἔχουσ'ἐποίκους ἐκ Μιτυλήνης Αἰολεῖς.
'Η Θρᾳκία δέ χερρόνησος ἐχομένη
κεῖται,καθ'ἥν πόλις ἐστί πρώτη Καρδία,
ἀρχήν μέν ὑπό Μιλησίων κτισθεῖσα καί
Κλαζομενίων,πάλιν δ'Ἀθηναίων ὕπο,
ὅτε Μιλτιάδης ἐκράτησε χερρονησίων.
Προσεχής δέ Λυσιμάχεια·ταύτην δ'ἔκτισεν
ἐπώνυμον Λυσίμαχος ἀφ'ἑαυτοῦ πόλιν.
Λίμναι δ'ἐφεξῆς εἰσιν αἱ Μιλησίων.
εἶτ'Αἰολέων 'Αλωπεκόννησος πόλις -
ἑξῆς. Ἐλαιοῦς,'Αττικήν ἀποικίαν
ἔχουσα,Φόρβας ἣν συνοικῆσαι δοκεῖ.

Ἐκ τοῦ Ἀνωνύμου (Σκύμνου Χίου ὡς φέρεται)

Περί Θράκης.

Ἔπειτα Σηστός καί Μάδυτος, αἱ κείμεναι
ἐπί τοῦ στενωποῦ Λεσβίων δ'οὖσαι κτίσεις.
Εἶτ' ἔστι Κριθώτη πολις τε Πακτύη.
λέγουσι καί ταύτας δέ Μιλτιάδην κτίσαι.
Μετά τήν δέ Χερρονησον ἐν Προποντίδι
Θράκη παρήκει, καί Σαμίων ἀποικία
Πέρινθός ἐστιν· ἐχομένης Σηλυμβρία,
ἥν οἱ Μεγαρεῖς κτίζουσι πρίν Βυζαντίου·
ἐξῆς Μεγαρέων εὐτυχῶν Βυζάντιον.
Μετά ταῦτα δ'ἐσθ'ὁ πόντος, οὗ δή τήν θέσιν
ὁ Καλλατιανός συγγράφων Δημήτριος
ἔοικε ἐπιμελεστάτως πεπυσμένος.
Κατά μέρος αὐτοῦ τούς τόπους διέξιμεν.
Τοῦ Ποντικοῦ γάρ στόματός ἐστι πλησίον
Βυζαντίων χώρα Φιλία καλουμένη.
Εἶτ' αἰγιαλός τις Σαλμυδησσός λεγομένης
ἐφ' ἑπτακόσια στάδια τεναγώδης ἄγαν
καί δυσπρόσορμος ἀλίμενός τε παντελῶς
παρατέταται, ταῖς ναυσίν ἐχθρότατος τόπος.
Εἶτ' εὐλίμενος ἄκρα συνάπτει Θυνιάς,
τῆς Ἀστικῆς Θράκης ὑπάρχουσ' ἐσχάτη,
μεθ' ἥν πόλις ἐστί σύνορος Ἀπολλωνία.
ταύτην δέ πρότερον ἔτεσι πεντήκοντά που
κτίζουσι τῆς Κύρου βασιλείας τήν πόλιν
εἰς τούς τόπους ἐλθόντες οἱ Μιλήσιοι.
πλείστας ἀποικίας γάρ ἐξ Ἰωνίας
ἔστειλαν εἰς τόν Πόντον, ὅν πρίν ἄξενον
διά τάς ἐπιθέσεις λεγόμενον τῶν βαρβάρων.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

'Εκ τοῦ Ἀνωνύμου (Σκύμνου Χίου,ὡς φέρεται)

**Περί Θ Ρ Α Κ Η Σ**

προσηγορίας ἐποίησαν εὐξείνου τυχεῖν.
Περί τήν ὑπώρειαν δέ τοῦ καλουμένου
Αἵμου πόλις ἐστί λεγομένη Μεσημβρία,
τῇ Θρᾳκίᾳ Γετικῇ τε συνορίζουσα γῇ·
Καλχηδόνιοι ταύτην δέ Μεγαρεῖς τ'ᾤκισαν,
ὅτ'ἐπί Σκύθας Δαρεῖος ἐστρατεύετο.
Αἷμος μεγιστον δ'ἐστιν ὑπέρ αὐτήν ὄρος.
τῷ Κίλικι Ταύρῳ τό μέγεθος προσεμφερής
τῇ τε κατά μῆκος τῶν τόπων παρεκτάσει
ἀπό γάρ Κροβύζων τῶν τε Ποντικῶν ὅρων
ἄχρι τῶν'Αδριατικῶν διεκβάλλει τόπων.

---

Οδησσός ἣν Μιλήσιοι
κτίζουσιν,'Αστυάγης ὅτ'ἦρχε Μηδίας·
αὕτη Κροβύζους Θρᾷκας ἐν κύκλῳ δ'ἔχει.

---

Διονυσόπολις δ'ἡ πρῶτον ὠνομάζετο
Κρουνοί διά τάς τῶν ἐγγύς ὑδάτων ἐκρύσεις·
Διονυσιακοῦ δέ κροσπεσόντος ἀγάλματος
Διονυσόπολιν λέγουσι κληθῆναι πάλιν.
'Εν μεθορίοις δέ τῆς Κροβύζων καί Σκυθῶν
χώρα μιγάδας Ἕλληνας οἰκητάς ἔχει.

---

Βιζώνη... τοῦτο δέ
τό πολύχνιον φασίν τινες μέν βαρβάρων,
τινές δ'ἄποικον γεγονέναι Μεσημβρίας.

Κάλλατις
ἀποικία τῶν Ἡρακλεωτῶν γενομένη
κατά χρησμόν-ἔκτισαν δέ ταύτην,ἡνίκα

'Εκ τοῦ 'Ανωνύμου (Σκύμνου Χίου, ὡς φέρεται)

Περί Θ ρ ά κ η ς

τήν Μακεδόνων ἀρχήν 'Αμύντας παρέλαβεν.
Τόμοι δ'ἄποικοι γενόμενοι Μιλησίων,
ὑπό Σκυθῶν κύκλῳ δέ περιοικούμενοι -

Πόλις

Ἴστρος ἀπό τοῦ ποταμοῦ λαβοῦσα τοὔνομα.
Ταύτην τήν πόλιν
Μιλήσιοι κτίζουσιν ἡνίκα Σκυθῶν
εἰς τήν 'Ασίαν στράτευμα διέβη βαρβάρων
τό Κιμμερίους διῶκον ἐκ τοῦ Βοσπόρου

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Σημ. Σαραντῆ . Τά παράλια τοῦ Εὐξείνου ἐπί τῆς 'Ασιατικῆς ἀκτῆς φαίνεται ὅτι ἀπῳκίσθησαν παρά τῶν Φοινίκων. ἰδέ Σκύμνον περί 'Ασίας.-